**Ξενοφῶντος *Ἑλληνικά*, 2.3.§52-55.3**

**ΚΕΙΜΕΝΟ**

*Ἀκούσας ταῦτα ὁ Θηραμένης ἀνεπήδησεν ἐπὶ τὴν ἑστίαν καὶ εἶπεν· «Ἐγὼ δ', ἔφη, ὦ ἄνδρες, ἱκετεύω τὰ πάντων ἐννομώτατα, μὴ ἐπὶ Κριτίᾳ εἶναι ἐξαλείφειν μήτε ἐμὲ μήτε ὑμῶν ὃν ἂν βούληται, ἀλλ' ὅνπερ νόμον οὗτοι ἔγραψαν περὶ τῶν ἐν τῷ καταλόγῳ, κατὰ τοῦτον καὶ ὑμῖν καὶ ἐμοὶ τὴν κρίσιν εἶναι. Καὶ τοῦτο μέν, ἔφη, μὰ τοὺς θεοὺς οὐκ ἀγνοῶ, ὅτι οὐδέν μοι ἀρκέσει ὅδε ὁ βωμός, ἀλλὰ βούλομαι καὶ τοῦτο ἐπιδεῖξαι, ὅτι οὗτοι, οὐ μόνον εἰσὶ περὶ ἀνθρώπους ἀδικώτατοι, ἀλλὰ καὶ περὶ θεοὺς ἀσεβέστατοι. Ὑμῶν μέντοι, ἔφη, ὦ ἄνδρες καλοὶ κἀγαθοί, θαυμάζω, εἰ μὴ βοηθήσετε ὑμῖν αὐτοῖς, καὶ ταῦτα γιγνώσκοντες ὅτι οὐδὲν τὸ ἐμὸν ὄνομα εὐεξαλειπτότερον ἢ τὸ ὑμῶν ἑκάστου». Ἐκ δὲ τούτου ἐκέλευσε μὲν ὁ τῶν τριάκοντα κῆρυξ τοὺς ἕνδεκα ἐπὶ τὸν Θηραμένην· ἐκεῖνοι δὲ εἰσελθόντες σὺν τοῖς ὑπηρέταις, ἡγουμένου αὐτῶν Σατύρου τοῦ θρασυτάτου τε καὶ ἀναιδεστάτου, εἶπε μὲν ὁ Κριτίας· «Παραδίδομεν ὑμῖν, ἔφη, Θηραμένην τουτονὶ κατακεκριμένον κατὰ τὸν νόμον. Ὑμεῖς δὲ λαβόντες καὶ ἀπαγαγόντες [οἱ ἕνδεκα] οὗ δεῖ τὰ ἐκ τούτων πράττετε».*

**ΠΑΡΑΤΗΡΗΣΕΙΣ**

**1.** Να μεταφράσετε στη Νέα Ελληνική το απόσπασμα: «*Ὑμῶν μέντοι, … ἐκ τούτων πράττετε*».

**Μονάδες 30**

**5.** Να επιλέξετε για καθεμία αρχαιοελληνική λέξη της στήλης Α την **ετυμολογικά συγγενή** της νεοελληνική λέξη της στήλης Β.

| Α | Β |
|---|---|
| **1.** ***ἐννομώτατα*** | α. νοητός<br>β. νομαδικός |
| **2.** ***κρίσιν*** | α. κριτήριο<br>β. κρίκος |
| **3.** ***ἐπιδεῖξαι*** | α. υπόδειγμα<br>β. υπόδημα |
| **4.** ***γιγνώσκοντες*** | α. μεταγενέστερος<br>β. ανάγνωση |

| | |
|---|---|
| **5.** ***πράττετε*** | α. πρατήριο<br>β. πρακτικός |

**Μονάδες 10**

**8.** Να χαρακτηρίσετε τις παρακάτω διατυπώσεις ως Σωστές (Σ) ή Λανθασμένες (Λ):

Ο Ξενοφώντας

α. έζησε τις περιπέτειες της Αθήνας στα χρόνια του Πελοποννησιακού πολέμου μέχρι την αποκατάσταση της δημοκρατίας το 403 π.Χ.

β. επέστρεψε στην Αθήνα από την εξορία μετά την προσέγγιση Αθηναίων και Σπαρτιατών εναντίον των Θηβαίων.

γ. έγραψε ιστορικά, ρητορικά και διδακτικά έργα.

δ. διαθέτει τη βαθειά φιλοσοφημένη σκέψη και τη διεισδυτικότητα του Θουκυδίδη.

ε. ξεχώριζε από τους ιστορικούς του $4^{ου}$ αι. π.Χ. για την απλότητα του ύφους, την καθαρότητα των νοημάτων, την ποικιλία των θεμάτων και των ενδιαφερόντων του.

**Μονάδες 10**